paræ, Apostolorum, Vatum, Martyrum, Sanctorum omnium, justorumque imagines adorans, & approbans, quorum sine macula preces expeto, Numinis propitias; fide, ac reverentia sacratissimas Reliquias amplexus, velut divinæ plenas gratiæ. Præterea cum sacros omnes novi, & antiqui fœderis libros recipio, tum illustrium Patrum, Doctorum, Monachorum vitas, diaque monumenta, quod ob Pamphilum dico, vecordem, ab Oriente profectum, qui eos sanctos insimulet: Marcum, inquam, Esaiam, Barsanuphium, Dorotheum, Hesychium. Nec Barsanuphium, Esaiam, Dorotheum sentio gregarios Acephalorum; ac Decicornium, qui vocatur, ejusque factionis socios, D. Sophronio in libello diris divinctos, aliis scilicet prædictis, quam sint isti. Quos Patrum traditione, sanctissimi Patriarchæ Tarasii, qui Pontificatum proxime gessit, rogatu, & aliorum fide dignorum, qua indigenarum, qua Orientalium, admitto, (tumque quod Barsanuphii in sacro Majoris Ecclesiæ vestiario simulacrum cum sanctis Patribus sit erectum, Antonio, Effraemo, aliisque, tumque in eorum doctrinis impium nihil, quin magnam contra animorum frugem deprenderim) dum in iis quoque per Synodi acquisitionem fraus aliqua detegatur. Nam si vel diris obligati, vel alii ab iis hæresi capti parebunt, diris etiam atque etiam multantor a Patre, & Filio, ac S. Spiritu.

Profiteor insuper & habitum Monasticum sublime quiddam, præstansque, & Angelicum haberi, quo accurate degendo, ac
mirum ni ad leges Monasticas divini magnique Basilii exigen- 5
do, non dimidiatim obeundo, quod plerique faciunt, quædam adsciscentes, quædam repudiantes, cunctæ expientur noxæ, ut citra terna ea, quæ in nobili Scala demonstrantur, laudabilia instituta, aliud quod ineamus, legitimum studium sit nullum. Quin nec mancipium parandum, nec jumentum * uterinum, ut a professione alienum, conjunctumque cum animorum periculo.

* *In Græco est*, feminei sexus. *Di boni! etiamne intuta tum a Monachorum libidine bestia, ut earum coëmtione interdicendum iis hoc Testamento fuerit? forte* veterinum Sirm. scriptum.

των ἐξαπλώσεως. ἀλλὰ διὰ τὸ μή τινας εἰς ἐμὲ τὴν χείρονα δόξαν ὑπολαμβάνειν παρ' ὃ φρονῶ ὀρθῶς, καὶ δοξάζω. τούτων δὲ οὕτως ἐχόντων, δεύτερόν ἐστιν εἰπεῖν, καὶ περὶ τοῦ καθηγουμένου. ἀφίημι τοίνυν πρῶτον μὲν τὸν κύριον καὶ πατέρα μου, καὶ πατέρα ὑμῶν, τὸν ὁσιώτατον Ἔγκλειστον, καὶ πατέρα, καὶ φωστῆρα, καὶ διδάσκαλον. αὐτὸς γὰρ κἀμοῦ, καὶ ὑμῶν προκαθέστηκεν ἐν κυρίῳ, καὶ καθίσταται κεφαλή. εἰ καὶ ὑπεξήγαγεν ἑαυτὸν διὰ Χριστομίμητον ταπείνωσιν τελῶν ἐν ἡσυχίᾳ. οὗ ταῖς ὁδηγίαις τε, καὶ προσευχαῖς πιστεύω ὑμᾶς συνθήσεσθαι. εἴπερ καὶ τὴν δέουσαν ἀντεισφέροιτε πρὸς αὐτὸν εὐπείθειάν τε, καὶ ὑπακοήν. ἔπειτα, ὃν ἐκ κοινῆς ψήφου θεοπρεπῶς προηγουμένης τῆς πατρικῆς βουλῆς προεστήσασθε. ἐφ' ᾧ γὰρ εὐδοκεῖ πᾶσα ἡ ἀδελφότης, ἑπόμενόν ἐστι καὶ τὸ ἐμὸν θέλημα. ἀλλὰ δεῦρο, ὦ πάτερ, καὶ ἀδελφὲ, ὅστις ἂν εἴης. ἰδοὺ παρατίθημί σοι ἐνώπιον τοῦ Θεοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων αὐτοῦ, πᾶσαν τὴν ἐν Χριστῷ ἀδελφότητα, ὅπως αὐτὴν εἰσδέξῃ. Πῶς δὲ προσλάβοις; ἡλίκως δὲ ὁδηγήσαις; ποδαπῶς δὲ διαφυλάξαις; ὡς ἄρνας Χριστοῦ, ὡς μέλη σου φίλτατα, θάλπων, καὶ περιέπων, καὶ ὁμειρόμενος ἑνὸς ἑκάστου κατὰ τὸ ἴσον τῆς ἀγάπης μέτρον. ὅτι ἐπίσης ἡ στοργὴ τῶν μελῶν τοῦ σώματός ἐστιν ἐφ' ἑκάστῳ ἀνθρώπῳ. διάνοιξόν σου τὰ σπλάγχνα ἐν συμπαθείᾳ. ἐστοίχισαι τοὺς πάντας ἐν ἐλεημοσύνῃ. τιθήνησαι αὐτοὺς, ἀναμόρφωσον αὐτοὺς, τελείωσον αὐτοὺς ἐν Χριστῷ. ὄξυνόν σου τὴν διάνοιαν ἐν φρονήσει. διέγειρόν σου τὸ πρόθυμον τῆς ψυχῆς ἐν ἀνδρείᾳ. στερέωσόν σου τὴν καρδίαν ἐν πίστει, καὶ ἐλπίδι. προπόρευσαι αὐτῶν ἐν πάσῃ ἀγαθοεργίᾳ. προπολέμησον κατὰ τῶν νοητῶν μαχομένων. ὑπεράσπισαι, διευθέτησον, εἰσάγαγε αὐτοὺς εἰς τὸν τῆς ἀρετῆς τόπον κληροδοτῆσαι τὴν γῆν τῆς ἀπαθείας. διὸ ἐντέλλομαί σοι τὰς ἐντολὰς ταύτας. ὥσπερ διακρατῆσαι ὀφείλεις κατὰ τὸ ἀναγκαῖον. οὐ διαλλάξεις οὖν, ὃν παρέλαβες τύπον, καὶ κανόνα, παρὰ τῆς ταπεινώσεώς μου ἐν ἅπασιν ἄνευ κατεπειγούσης ἀνάγκης.

1 Οὐ κτήσῃ τοῦ κόσμου τούτου τι, οὐδὲ ἀποθησαυρίσεις ἰδιοκτήτως εἰς ἑαυτὸν, μέχρι καὶ ἑνὸς ἀργυρίου.

2 Οὐ διαμερίσεις τὴν ψυχὴν, καὶ τὴν καρδίαν σου, σχέσει καὶ φροντίδι περὶ τοὺς ὑπὸ Θεοῦ πεπιστευμένους, καὶ ὑπ' ἐμοῦ παραδεδομένους πνευματικοὺς υἱοὺς, καὶ ἀδελφοὺς, εἰς τοὺς ποτε κατὰ σάρκα ἰδίους ἢ συγγενεῖς, ἢ φίλους, ἢ συνεταίρους.

3 Οὐ δωρήσῃ τι τῆς οἰκείας σου μονῆς, οὔτε ζῶν, οὔτε μετὰ θάνατον ἐλεημονητικῶς, ἢ κληρονομικῶς εἰς τοὺς ἤδη προειρημένους. Οὐ γὰρ ἐκ τοῦ κόσμου εἶ, ἵνα μετέχῃς τῶν ἐκ τοῦ κόσμου. πλὴν εἰ μή που μεταβαῖεν τινες ἐκ

τοῦ

riculo. Atque hæc obiter dixi: neque enim eſt ea explicandi tempus; verum nequi ſiniſtram de me opinionem conciperent, nec conſentaneam iis, quæ ſentire arbitrer recte. His ſic habentibus, proximum eſt & de Præfecto diſſerere. Ergo inprimis, dum patremque meum juxta, ac veſtrum, ſanctiſſimum Cluſium relinquo patrem, illuſtratorem, magiſtrum, qui vobis mihique & in Domino præfuit, & nunc caput eſt, quamlibet ſe ſubduxit, pro Chriſtiana ſubmiſſione, deditus quieti, cujus vos auſpiciis, atque precibus ſervatum iri confido, ſi, quam oportet, obedientiam viciſſim, ac obſequium, conferetis. Deinde quem communi ſuffragio duce paterno conſilio diù præfeceritis. Nam, in quem univerſitas inclinat, eodem ſequitur & mea voluntas. Sed ades vero, ô Pater, fraterque, quicunque es futurus. En coram Deo, ejuſque Geniis electis, univerſam hanc Chriſtianam Rempublicam tibi committo, quam capeſſas. Atqui capeſſes? quemadmodum reges, & tuebere? ut agnos Chriſti, ut tuapte cariſſima membra, fovens, defenſans, procurans unumquemque pari benevolentiæ menſura, poſtquam par corporis membrorum ſtudium cuique eſt. Viſceribus pro affectione recluſis, cunctos liberaliter acceptos nutricator, fingito, perficito; ingenium prudentia deacuito, animi alacritatem fortitudine excitato: mentem fide, ſpeque firmato: probitate omnibus præito: tectos contra imaginarios hoſtes propugnato, mactos in virtutis tanquam latifundium immittito, quaſi quodam innocentiæ ſolo dividundo. Tibi hæc quidem præcepta ſciſco, quæ retinere neceſſitas cogat, neque ex omnibus, præter exemplum normamque, quam a me nihili acceperis, quicquam mutabis citra urgentem neceſſitatem.

Non mundanum aliquid parabis, aut in uſum proprium coges, nec teruncium ſolum. 1

Non ſtudio, ac ſolicitudine mentem, & ingenium diſtrahes præ iis, quos, creditos divinitus, atque a me commiſſos, ſpiritales quoſdam habeas natos, fratreſque, in privatos humaniter quondam ſeu cognatos, ſeu amicos, ſeu æquales. 2

Non monaſterii tui facultatibus utere nec vivus, nec poſt mortem, quas eroges, aut hereditario leges prædictis, poſtquam non es ex mundo, ut mundanis fruare: niſi qui tranſeant 3

inter-

τοῦ κοινωνικοῦ βίου εἰς τὸ καθ' ἡμᾶς τάγμα. καὶ οὕτω φροντίσεις κατὰ μίμησιν τῶν ἁγίων πατέρων.

4 Οὐ κτήσῃ δοῦλον, οὔτε εἰς οἰκείαν χρείαν, οὔτε εἰς ἣν ἐπεπιστεύθης μονήν, οὔτε εἰς ἀγρούς, τὸν κατ' εἰκόνα Θεοῦ γεγονότα ἄνθρωπον. Τοῦτο γὰρ μόνοις τοῖς ἐν τῷ βίῳ συγκεχώρηται, ὡς ὁ γάμος. σοὶ δὲ χρεὼν παρέχειν ἑαυτὸν δοῦλον τοῖς ὁμοψύχοις σου ἀδελφοῖς τῇ προθέσει, κἂν τῇ ἔξω ἐπιφανείᾳ ὡς δεσπότης λογίζῃ, καὶ διδάσκαλος.

5 Οὐ σχοίης ζῶον τῶν ἐκ τοῦ θήλεος γένους εἰς χρείαν ὑπουργικήν, ὡς τὸ θῆλυ παντάπασιν ἀποταξάμενος, οὔτε ἐν μονῇ, οὔτε ἐν τοῖς ἀγροῖς, καθὼς οὐδεὶς τῶν ὁσίων καὶ ἁγίων πατέρων ἡμῶν ἐχρήσατο, οὔτε ἡ φύσις αὐτὴ ἐπιτρέπει.

6 Οὐκ ἐποχούμενος ἔσῃ ἐπὶ ἵπποις, καὶ ἡμιόνοις, δίχα ἀνάγκης. ἀλλὰ Χριστομιμήτως πεζοπορήσεις. εἰ δ' οὖν πῶλός σοι τὸ ὑποζύγιον ἔστω.

7 Παραφυλάξεις πάντως τὸ πάντα τὰ ἐν τῇ ἀδελφότητι κοινὰ εἶναι, καὶ ἀμέριστα. καὶ μηδὲν κατὰ μέρος τοῦ καθέκαστον εἰς ἐξαυθέντησιν μέχρι καὶ ῥαφίδος. Σοῦ δὲ καὶ τὸ σῶμα, καὶ ἡ ψυχή, μήτιγε ἄλλα, ἔστωσαν διαμεμερισμένα ἐν ἰσότητι ἀγάπης πᾶσι τοῖς πνευματικοῖς σου τέκνοις, καὶ ἀδελφοῖς.

8 Οὐ σχοίης μετὰ κοσμικῶν ἀδελφοποιΐας ἢ συντεκνίας, ὁ φυγὰς τοῦ κόσμου, καὶ τοῦ γάμου. οὐ γὰρ εὕρηται ἐν τοῖς πατράσιν. εἰ δὲ καὶ εὕρηται, σπανιάκις. καὶ τοῦτο οὐ νόμος.

Οὐ συνεσθιασθείσῃ μετὰ γυναικῶν, πλὴν τῆς κατὰ σάρκα μητρός, καὶ ἀδελφῆς, κἄν τε κανονικῆς, κἄν τε κοσμικῆς, εἰ μή τις βίᾳ καὶ ἀνάγκῃ καλοίη, καθὼς παρακελεύονται οἱ ἅγιοι πατέρες.

10 Οὐ σχοίης τὸ πολυπρόσοδον καὶ πολυγύρευτον ἄνευ ἀνάγκης, ἐγκαταλιμπάνων τὸ οἰκεῖον ποίμνιον. ἀγαπητὸν γὰρ καὶ σχολάζοντα ἐν τῇ ποίμνῃ δυνηθῆναί σε διασῶσαι τὰ πολυτροπώτατα, καὶ πολυεξόδευτα λογικὰ πρόβατα.

11 Παραφυλάξεις πάντως τοῦ ποιεῖσθαι τρισάκις τὴν κατήχησιν τῇ ἑβδομάδι, καὶ καθ' ἑσπέραν, ἢ διὰ σαυτοῦ, ἢ δι' ἄλλου τῶν τεκνίων. ἐπειδὴ πατροπαράδοτον τοῦτο, καὶ σωτήριον.

12 Οὐ δοίης, ὅπερ λέγουσι, μικρὸν σχῆμα. ἔπειτα ὡς μέγα. ἓν γὰρ τὸ σχῆμα, ὥσπερ καὶ τὸ βάπτισμα. καθὼς οἱ ἅγιοι πατέρες ἐχρήσαντο.

13 Οὐ παραβῇς τοὺς νόμους καὶ κανόνας τῶν ἁγίων πατέρων, πρόγε πάντων τοῦ θείου καὶ μεγάλου Βασιλείου. ἀλλὰ πᾶν ὅτι ἂν ποιῇς, ἢ λέγῃς,

ὡς

interdum e communi vita ad hunc ordinem nostrum, ac tum curâ defungere, ad Sanctorum Patrum exemplum.

Non hominem, factum ad imaginem divinam, servum pa- 4
rabis, neque usui privato, nec Monasterii, quod administres, nec agrorum: id enim solis mundanis permittitur, uti nuptiæ. Te quidem benevolentia servum unanimis fratribus præbeas oportet, quamlibet foris, in superficiem, ut herus, ac magister habeare.

Non feminini generis animantem in jumentum habebis, qui 5
feminis prorsum valedixeris, neque in Monasterio, neque in agris, quemadmodum nec divorum Patrum usus est quisquam, nec patitur natura.

Non mulis, & equis vectabere, citra necessitatem; sed Chri- 6
stiane pedes obibis: sin usu veniat, pullus jungitor.

Plane operam dabis, quæ Collegii sint, communia teneri, at- 7
que indivisa cuncta, nihilque privatim a quoquam, ad licentiam, nec acum solam. Corpus quidem certe, animumque, præterea nihil, æquali amore in spiritales omnes filios, fratresque partitor.

Non mundanis utere fratribus, quasique consiliis habendis, 8
exul mundi ac nuptiarum. Neque enim reperitur in Patribus: sin repertum est, rarius certe; neque id lex est.

Non epulabere cum feminis, matre & sorore secundum 9
carnem exceptis, (regularibus an mundanis, nescio) nisi quæ vis ac necessitas vocet, ut jubent Patres.

Non frequens prodibis, palabundus, citra necessitatem, gre- 10
ge deserto, cui palmarium sit inprimis vel in caula vacanti flexiles, & errabundas, ut sic dixerim, oves catas sospitare.

Prorsum non omittes, quin ter hebdomadatim, atque ap- 11
petente vespera, Catechesim dictes, seu per te, seu per alium e filiis: quod a majoribus traditum est, nec fruge caret.

Non habitum parvum, quem appellant, ac sic deinde confe- 12
res magnum: nam unus habitus est, uti & Tinctio, auctoribus sanctis Patribus.

Non leges ac scita majorum, inprimisque magni, & divini Ba- 13
silii, migrabis: quin, quodcunque ages, dicesve, ceu testimo-

ὡς μαρτυρίαν ἔχων ἐκ τῶν γραφῶν, πράξοις, ἢ ἐκ πατρικῆς σου συνηθείας ἄνευ παραβάσεως ἐντολῆς Θεοῦ.

14 Οὐ καταλείψεις τὸ ποίμνιόν σου, καὶ εἰς ἕτερον μεταβῇς, ἢ πρὸς μείζονα ἀξίαν ἐπαναδράμοις ἄνευ συγκαταθέσεως τῆς οἰκείας σου ἀδελφότητος.

15 Οὐ φιλιάσεις μετὰ κανονικῆς. οὐδὲ παραβαλεῖς ἐν γυναικείῳ σεμνείῳ. οὐδὲ κατὰ μόνας ὁμιλήσεις μοναζούσῃ, ἢ κοσμικῇ, εἰ μή που ἀνάγκη ἕλκοι, καὶ τότε δύο παρόντων ἐξ ἑκατέρου μέρους προσώπων. τὸ γὰρ ἓν, ὥς φησιν, ἐπηρέαστον.

16 Οὐκ ἀνοίξεις τὴν θύραν τῆς μονῆς ἐπὶ εἰσόδῳ παντοίας γυναικὸς ἄνευ μεγάλης ἀνάγκης. εἰ δὲ δυνατὸς εἶ ἀσυμφανῶς δέχεσθαι, οὐδὲ τοῦτο ἀπόβλητον.

17 Οὐ ποιήσεις σαυτῷ καταγώγιον, ἢ τοῖς πνευματικοῖς σου τέκνοις οἶκον κοσμικῶν, ἐν ᾧ εἰσὶ γυναῖκες, ἐπὶ συχνῷ παραβάλλων. ἀλλ' ἐκλέξῃ εἰς ἀνδρῶν εὐλαβῶν τὰς παροδικὰς, καὶ ἀναγκαίας χρείας ποιεῖσθαι.

18 Οὐ κτήσῃ μαθητὴν εἰς τὸ κελλίον σου προσπαθῶς. ἀλλ' ἐκ προεστῶτος ἀνυπόπτου, καὶ ἐκ διαφόρων ἀδελφῶν τὴν ὑπηρεσίαν σου ποιήσεις.

19 Οὐ κτήσῃ ἱματισμὸν ἐξηλλαγμένον, καὶ πολύτιμον, ἄνευ τοῦ ἱερατικοῦ. ἀλλὰ τοῖς ταπεινοῖς πατρομιμήτως καὶ ἐνδύσῃ, καὶ ὑποδήσῃ.

20 Οὐκ ἔσῃ ἁβροδίαιτος οὔτε ἐν τῇ οἰκείᾳ σου δαπάνῃ, οὔτε ἐν ταῖς ὑποδοχαῖς τῶν ξένων, ὡς κατὰ τοῦτο περισπώμενος. ἔστι γὰρ τῆς μερίδος τοῦ παρόντος βίου.

21 Οὐ θησαυρίσεις χρυσίον ἐν τῇ μονῇ σου, ἀλλὰ τὸ κατὰ περίσσειαν ἐπὶ παντὸς εἴδους μεταδώσεις τοῖς πενομένοις, ἐν ἀνοίξει τῆς αὐλῆς σου, καθὼς οἱ ἅγιοι πατέρες.

22 Οὐ κρατήσεις πᾶσαν ἠσφαλισμένον, καὶ τὴν οἰκονομικὴν φροντίδα. ἀλλ' ἔστω σου κλεὶς ἡ μεγίστη τῶν ψυχῶν φροντὶς τοῦ λύειν καὶ δεσμεῖν κατὰ τὰ λόγια. τὸ χρυσίον δὲ, καὶ τὰ κατὰ χρείαν, ἐγχειρίσεις τοῖς οἰκονόμοις, τοῖς κελλαρίταις, καὶ ὡς ἐπιβάλλοι καθ' ἑκάστην διακονίαν σου προδήλως τῆς πάντων ἐξουσίαν ἔχοντος, καὶ μεταφέροντος, ὡς ἂν βουλείῃ μετὰ τῶν προεχόντων ἐν τῷ τυχόντι προσώπῳ, ἀπολαμβάνων τὸν λόγον ἑκάστης διοικήσεως.

23 Οὐ προτιμήσεις τοῦ συμφέροντος τῇ ἀδελφότητι πρόσωπον παντὸς ἀνθρώπου ὑπερέχοντος, καὶ ἐξουσιάζοντος κατὰ τὸν παρόντα αἰῶνα, οὔτε ὑποσταλεὶς μέχρις αἵματος ἐπὶ φυλακῇ τῶν θείων νόμων καὶ ἐντολῶν προτεῖναι τὴν ψυχήν σου.

Οὐ

nium habens e sacris litteris, aut paterna tua consuetudine geres, divino præcepto minime violando.

Non grege relicto ad alium te conferes, aut majorem digni- 14
tatem invades, citra consensum collegii.

Non consuesces cum regulari, neque in muliebre sacrarium 15
irrumpes, nec cum Monacha, aut mundana seorsim colloquere, ni necessitas trahat, duabus tum quidem utrimque præsentibus personis. *Tentabilis est enim solitudo*, ait ille.

Non intraturæ mulieri cuiquam Monasterii fores aperies, ci- 16
tra ingentem necessitatem: sin clam potes admittere, ne id quidem rejectaneum.

Non diversorium tibi, aut spiritalibus filiis, mundanas ædes 17
habebis, ubi frequentes sint mulieres, diversatus: quin usui, ac necessitati peregrinæ religiosorum, quam legeris, domi satisfacies.

Non discipulum ad cellam molliculum libidinose parabis: 18
sed nec suspectæ personæ, & diversorum fratrum servitiis utere.

Non multitium vestitum, ac sumptuosum tenebis, excepto 19
sacrifico, tenui, Patrum exemplo, & amictu, & calceamento adhibendo.

Non splendorem captabis neque in privatis expensis, neque 20
hospitibus invitandis, ceu occupatus in eo: nam hujus vitæ voluptariorum hæ sunt partes.

Non aurum in Monasterio coges, sed e quavis, specie su- 21
perfluum in pauperes erogabis, aula adaperta, proinde ut sancti Patres.

Non arces tenebis, ac procurationem mundanam: quin esto 22
hæc potissima clavis, animorum procuratio, ligandorum, & solvendorum, ex oraculis. Aurum quidem, ac necessaria trades œconomis, cellariis, atque, ut cujusque postulat munus, te arbitrio palam cunctorum, & in quodlibet caput, transferente, prout cum antecessoribus consultatis, ac rationem cujusque administrationis habituro.

Neminem potentem, & eximium in hoc seculo Collegii com- 23
modis præhabebis, nec vel in necem retrectabis, quin divinis tuendis legibus ac præceptis vitam projicias.

24 Οὐ ποιήσεις τι, ἢ πράξεις κατ' οἰκείαν γνώμην ἐν παντὶ πράγματι ἤ τι ψυχικῶν καὶ σωματικῶν, πρὸ πάντων μὲν ἄνευ βουλῆς καὶ εὐχῆς τοῦ κυρίου καὶ πατρός σου, ἔπειτα τῶν προεχόντων ἐν γνώσει καὶ εὐλαβείᾳ κατὰ τὴν ὑποκειμένην ὑπόθεσιν. ἑνὸς γὰρ χρεία τυχὸν, ἢ δύο, καὶ τριῶν, ἢ καὶ πλειόνων. ὥσπερ ἐντετάλμεθα πατρικῶς, καὶ δεδέξαμεν. ταῦτα πάντα καὶ ὅσα ἕτερα ἐξελάβου, διαφυλάξεις, καὶ φρουρήσεις, ἵνα εὖ σοι γένηται. καὶ ἔσῃ κατευοδούμενος ἐν κυρίῳ. τὸ γὰρ ἐναντίον ἀπειθῆ καὶ λέγειν, καὶ εἶναι.

Δεῦρο καὶ ὑμεῖς, τέκνα μου καὶ ἀδελφοὶ, ἀκούσατέ μου τῆς οἰκτροτάτης φωνῆς. δέξασθε, καὶ ἀποδέξασθε τὸν κύριον τὸν ἡγούμενον, καθὼς ἐξελέξατε οἱ πάντες. Οὐδενὶ γὰρ ἔξεστι κατ' οὐδένα τρόπον εὑρήσασθαι ἄλλον τινὰ βίον, παρ' ὃ ὑπάρχει, καὶ οὗτος ὁ δεσμὸς ὑπὸ κυρίου. Ἀσπάσασθε αὐτὸν ὡς διάδοχόν μου δι' αἰδοῦς καὶ τιμῆς προσβλέποντες αὐτόν. καὶ τὸν τῆς ὑποταγῆς κανόνα νόμιμον ὡς ἐν ἐμοὶ καὶ ἐν αὐτῷ διαφυλάξατε, μὴ καταφρονοῦντες τῆς ἐν κυρίῳ νεαρᾶς προβολῆς αὐτοῦ. μηδὲ ἐκζητοῦντες πλεῖόν τι τῶν δωρηθέντων αὐτῷ ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου χαρισμάτων. ἀρκετὸν αὐτῷ διακρατήσει, ἅπερ παρὰ τῆς ταπεινώσεώς μου ἐντέταλται. καὶ εἰ ἀγαπᾶτέ με τὰ τέκνα μου, τὰς ἐντολάς μου φυλάξατε. καὶ τὴν εἰρήνην ἐν ἑαυτοῖς ἕξετε, καὶ τὸ ἀγγελικὸν ὑμῶν ἐπάγγελμα ἀδιάψευστον τηρήσετε, οὐρανίως πορευόμενοι. Τὸν κόσμον μισήσαντες μὴ ἐπιστραφῆτε πρὸς τὰ τοῦ κόσμου ἔργα. λυθέντες τῶν δεσμῶν τῆς προσπαθείας μὴ ἐνδεθῆτε αὖθις πρὸς τὰς σαρκικὰς σχέσεις. ἀπαρνησάμενοι πάντα τὰ τερπνὰ καὶ ἐπίκηρα τοῦ παρόντος βίου, μὴ δι' ὀλιγωρίας ἀποπηδήσητε τῆς ἀθλητικῆς ὑμῶν ὑποταγῆς, γενόμενοι ἐπίχαρμα δαιμόνων. πρὸς τὸν δρόμον τῆς ὑπακοῆς μέχρι τέλους ἐγκαρτερήσατε, ἵνα τὸν τῆς δικαιοσύνης ἀμαράντινον στέφανον κομίσησθε. τῇ ταπεινοφροσύνῃ ἀγόμενοι, ἀρνηταὶ τοῦ οἰκείου θελήματος γένησθε. πρὸς μόνα διατυπούμενοι τὰ παρὰ τοῦ καθηγουμένου ὑμῶν ἐγκελευόμενα. καὶ εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν φυλάξατε αὐτὰ μέχρι τέλους. Ὁ γὰρ χορὸς τῶν μαρτύρων ὑμᾶς εἰσδέξεται, καὶ στεφανηφοροῦντες ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσοιτε, καὶ λοιπὸν τέκνα σώζεσθε. ἀποδημίαν γὰρ στέλλομαι ἀνεπίστροφον, ἣν πάντες οἱ ἀπ' αἰῶνος διώδευσαν, ἐφ' ἣν καὶ αὐτοὶ μικρὸν ὕστερον, λειτουργήσαντες τὰ τοῦ βίου, ἀποβιώσεσθε. Οὐκ οἶδα δὲ, ἀδελφοί μου, ποῦ ἀπέρχομαι, ἢ οἷον ἀπαντήσει μοι τὸ κρίμα. ἢ ὁποῖος ὑποδέξεταί με τόπος. ἔργον γὰρ ἀγαθὸν οὐκ εἰργασάμην ἐνώπιον Θεοῦ ἓν καὶ μόνον. πάσης δὲ ἁμαρτίας ὑπεύθυνος ὑπάρχω. πλὴν χαίρω, καὶ ἥδομαι, ὅτι ἀπὸ κόσμου εἰς οὐρανὸν πορεύομαι, ἀπὸ σκότους εἰς φῶς, ἀπὸ δουλείας εἰς ἐλευθερίαν.

Nullo obeundo negotio, ceu animali, seu corporali, quicquam facies, agesve ex tua sententia, in primis citra domini, & patris consilium, ac voluntatem, deinde prudentia, pietateque præstantum pro argumento præsenti. Scilicet unus opus est forsan, aut duo, tresque, aut etiam plures, quemadmodum paterne sanximus, & statuimus. Cuncta hæc, inquam, quæque alia suscepisti, servabis, ac custodies, quo bene tibi sit, & in Domino prosperere: nam contrarium absit tum dicere, tum cogitare. 24

Adeste huc jam porro filii, fratresque, audienda tristissima mea voce. Excipitote, ac suscipitote Dominum Præfectum, quem frequentes elegistis, postquam nemini ullo modo aliam, quam quæ obeatur, vitam adsciscere licet, quod sub Deo vinculum est. Prensatorem, ut successorem meum, reverenter, & honorifice tuentes, ac, quam in me, in eoque legitimam obedientiæ regulam tenetote, haud despicati noviciam in Deo procurationem, nec plus tributis ab sancto Spiritu beneficiis exposcentes. Satis est retinere eum, quæ a nobis acceperit, mandata. Enimvero, si me amatis, filii, obitote mea præcepta, & inter vos pacem habetote. Angelicam vestram professionem genuinam servatote, vita ineunda cœlesti: neu mundum detestati, ad mundi opera reditote; neu vinculis soluti voluptatis, iterum carnis studiis ingenia revincitote, caducis omnibus præsentis vitæ deliciis abjuratis: neu per secordiam ab athletica secessione resilitote, triumphus futuri Dæmonum. Ad obedientiæ curriculum in metam duratote, quo probitatis lauream feratis, quæ minime marcescat. Ducti submissione, propriam quisque voluntatem abnegatote, solis deformati, quæ sanciat Præfectus. Hæc qui sciatis, felices eritis, si ad extremum conservabitis. Nam choro excepti Martyrum, ac coronis redimiti, in cœlesti regno æternis bonis fruemini. Quod superest, filii, valete, postquam irremeabile iter capesso, quod ab omni memoria cuncti peragrarunt, eoque postpaulo defuncti vitæ muneribus pervadetis. Equidem fratres, quo iturus sum, nescio, aut quam sententiam laturus, quive excepturus me locus: neque enim præclarum coram Deo opus exegi, vel unicum duntaxat, scelerum omnium damnas. Quanquam gaudeo, lætorque, qui e terra in cœlum proficiscar, e tenebris

θερίαν, ἀπὸ παροικίας εἰς ἀληθινὴν κατοικίαν, ἀπὸ τῆς ξένων καὶ ἀλλοτρίων (πάροικός εἰμι ἐγὼ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου) εἰς τὰ ἐμὰ οἰκεῖα. ἔτι τολμηρότερον φθέγξομαι, ὅτι πρὸς τὸν δεσπότην μου ἄπειμι, πρὸς τὸν κύριον καὶ Θεόν μου. ὃν ἠγάπησεν ἡ ψυχή μου. ὃν ἐγνώρισα πατέρα. εἰ καὶ οὐκ ἐθεράπευσα ὡς υἱός. ὃν ἐκτησάμην ἀντὶ πάντων, εἰ καὶ οὐκ ἐδούλευσα, ὡς δοῦλος γνήσιος. ταῦτα παραφρονῶν εἴρηκα. δι' ὑμᾶς δὲ λέλεχα, ἵνα προθυμεῖσθέ μου τῆς σωτηρίας. καὶ ἐὰν ἐπιτύχω ταύτης, ἰδοὺ λόγον δίδωμι ἐνώπιον τῆς ἀληθείας, ὅτι οὐ σιγήσω, τολμηρῶς δέεσθαι τοῦ κυρίου καὶ δεσπότου μου ὑπὲρ πάντων ὑμῶν, ἵνα σώζησθε, ἵνα εὐπραγῆτε, ἵνα πληθύνησθε, εἰς δόξαν αὐτοῦ, προσδεχόμενος ἕνα καθ' ἕνα διὰ τῆς ἀπὸ τοῦ κοσμοῦ ἀναχωρήσεως θεωρεῖν, καὶ προσλαμβάνειν, καὶ προσκατασπάζεσθαι. πεποίθησιν γὰρ τοιαύτην ἔχω, ὅτι ἡ ἀγαθότης αὐτοῦ ἐπὶ τὸ αὐτὸ ὡς ἐν ταῦτα διατηρήσει πάντας ἡμᾶς ἐν τῷ μέλλοντι αἰῶνι τὰς ἐντολὰς αὐτοῦ τετηρηκότας πρὸς τὸ ἀνυμνεῖν τὸ πανάγιον αὐτοῦ κράτος. Μέμνησθέ μου τῶν ταπεινῶν λόγων, τεκνία, τὴν παρακαταθήκην φυλάξατε ἐν Χριστῷ Ἰησοῦ, τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

in lucem, e servitute ad pileum: quasi quidam indigena ex inquilino futurus, atque ex alieno & extraneo solo (nam advena sum & peregrinus, quemadmodum cuncti majores) in meum proprium discessurus, quin ut audacius loquar, qui ad herum commigrem, Deum Dominumque meum, quem deamavi, quem patrem agnovi, etsi non ut filius colui, quem præ omnibus paravi, etsi non ut servus genuinus servii. Hæc cum amens dixi; tum vestraque causa disserui: quo instigaremini, pro meaque precaremini salute. Quam si consequar, en recipio sancte, ut minime reticebo, quin herum pro vobis omnibus audacter obsecrem, salvis, felicibus, mactis ad ejus gloriam futuris, singulos exspectans per abscessum e mundo intueri, excipere, complecti. Quippe hanc habeo fiduciam, clementem Deum, æque ut hic congreges universos, in futuro sæculo servaturum sua præcepta functos, ter sancto & præpotente Spiritu celebrando. Mementote meorum nauci verborum, filii: depositum servatote per Christum Jesum Dominum nostrum, cui gloria & imperium cum Patre, ac S. Spiritu, nunc, & semper, in omnemque perpetuitatem. Amen.

Ε' Π Ι' Κ Ρ Ι Σ Ι Σ.

M*agni in literis nominis* Jacobus Sirmondus *fuit, magnaque apud me ab adolescentia, quum varia ejus legissem scripta, existimationis. Ea de caussa ne contuli quidem cum Græco contextu versionem ejus, cujus elegantiam confidebam esse maximam. Postquam vero typis excudi, & atque ita, uti fit, a me cum Græcis Latina ejus comparari cœperunt, tanta me cepit perturbatio, ut vix oculis, vix judicio meo crederem. Tantum valet præconcepta mentis opinio. Nam nec Græca illum intellexisse, nec Latina scisse, nunc nimis sero didici. Certe nihil hac versione putidius est, nihil puerilius. Nolui tamen quidquam mutare, nisi unam vocem, ubi Græcum nomen retinui* Acephalorum, *quod bonus ille Vir Latine* Incipitum *verterat. Ejusdem generis sunt* Clusius *pro* Enclisto, Decicornius, *pro* Decacerato, *&c. Quid multa? dum tam affectate scribit, Græca me intelligere profiteor, Latina quandoque ne conjectura quidem posse assequi. Tu tamen, lector Erudite, tuo utitor judicio, meumque, si displicet, contemnito.*

S. MA-

¹ Τοῦ ἁγίου ΜΑΚΑΡΙΟΥ τοῦ ἈΛΕΞΑΝΔΡΕΩΣ

ΛΟΓΟΣ

Περὶ ἐξόδου ψυχῆς δικαίων καὶ ἁμαρτωλῶν.

² Τὸ πῶς χωρίζονται ἐκ τοῦ σώματος, καὶ πῶς εἰσίν.

E Codice MS. papyr. Bibliothecæ Acad. Lipziensis.

³ ΠΟτὲ διοδευόντων ἡμῶν ἐν τῇ ἐρήμῳ, ⁴ εἶδον δύο ἀγγέλους συνακολουθοῦντας τῷ ἁγίῳ Μακαρίῳ, ἕνα ἐξ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων. ⁵ καὶ ἐν τῷ συμπορεύεσθαι ἡμᾶς, εὑρέθη θνησιμαῖον κείμενον καὶ ⁶ ὄζον πάνυ. καὶ αἰσθόμενος ⁷ ὁ ἅγιος Μακάριος τῆς δυσωδίας ⁸ συνέκλεισε μετὰ τῆς ἰδίας χειρὸς τοὺς ἑαυτοῦ μυκτῆρας, ἕως οὗ παρῆλθεν. ἐποίησαν δὲ οἱ ἄγγελοι οὕτως. ⁹ καὶ ἰδὼν ὁ γέρων, ¹⁰ εἶπεν αὐτοῖς, καὶ ὑμεῖς οὕτως ὀσφραίνεσθε τὴν δυσωδίαν τοῦ κόσμου; ¹¹ οἱ δὲ εἶπον, οὐχί. ἀλλὰ σὲ ¹² ἰδόντες ἐποιήσαμεν καὶ ἡμεῖς οὕτως. ἡμεῖς γὰρ τῆς δυσωδίας τοῦ κόσμου οὐκ αἰσθανόμεθα, ἀλλὰ τῆς ¹³ ὀζομανίας ¹⁴ τῶν ψυχῶν τῶν ἁμαρτωλῶν ὀσφραινόμεθα ¹⁵ μόνον, ὃν τρόπον σὺ τὴν δυσωδίαν τοῦ θνησιμαίου τούτου ¹⁶ ἀπεστρέφη. καὶ ¹⁷ ὁ γέρων θαυμάσας λέγει αὐτοῖς, ¹⁸ γνωρίσατέ μοι, παρακαλῶ. τοῦτο τῆς δυσωδίας. ¹⁹ Τῶν ψυχῶν τῶν ἁμαρτωλῶν ἐν τῇ ζωῇ ταύτῃ αἰσθάνεσθε, ἢ μετὰ θάνατον; καὶ πῶς τὰς ψυχὰς τῶν ἁμαρτωλῶν τῶν ἀσεβῶν, τῶν μὴ πεπιστευκότων, πῶς δὲ τῶν τῷ κυρίῳ πεπιστευκότων διακρίνεσθε; εἴπατέ μοι, εἰ εὗρον χάριν ἐνώπιον ὑμῶν. καὶ οἱ ἄγγελοι εἶπον, ἄκουσον ἐκλεκτὲ τοῦ θεοῦ Μακάριε. ²⁰ ἡ ἁμαρτωλὸς ψυχὴ καὶ ἔτι οὖσα ἐν τῷ σώματι τὴν τῶν κα-

κῶν

Variæ Lectiones Codicis Bibliothecæ Cæsareæ Viennensis.

1. Τοῦ ἁγίου Μακαρίου] Codex papyraceus Viennensis, quicum somnium hoc vigilantis Monachi contuli, habebat: Τοῦ Ἀββᾶ Μακαρίου. πῶς δεῖ χωρίζεται ἡ ψυχὴ ἐκ τοῦ σώματος. Εὐλόγησον δέσποτα. Alius Codex membr. ejusdem Bibliothecæ Cæsareæ hanc habebat inscriptionem: Διήγησις θαυμαστὴ περὶ τῶν ἐντεῦθεν μεθισταμένων ψυχῶν ἀγαθῶν καὶ φαύλων, καὶ πῶς εἰσὶν αἱ ψυχαὶ αὐτῶν, καὶ περὶ τοῦ ὁσίου Μακαρίου τοῦ μεγάλου, τοῦ Ἀλεξανδρείας. Τοῦ ἁγίου Μακαρίου τοῦ Ἀλεξανδρέως ὁ μαθητὴς διηγήσατο, ὅτι ποτὲ, &c.

2. τὸ πῶς] malim πῶς.

3. ποτὲ διοδευόντων] ποτε in c. v. deest.

4. Εἶδον] c. v. ἔμπροσθεν μὲν προάγοντα. ὄπισθεν δὲ ἀκολουθοῦντος διηγήσατο ἡμῖν ὁ μαθητὴς αὐτοῦ τοῦ Ἀββᾶ Μακαρίου, ὅτι εἶδον δύο ἀγγέλους συνοδεύοντας αὐτῷ, ἕνα ἐξ δεξιῶν &c. pro αὐτῶν L. αὐτῷ.

5. Καὶ ἐν τῷ συμπ.] v. οὕτως πορευομένων αὐτῶν.

6. ὄζον

S. MACARII ALEXANDRINI
SERMO
De excessu justorum & peccatorum:

Quorsum scilicet eorum animæ e corpore demigrent, & quomodo se habeant.

QUum forte in deserto nostro obambularemus, angelos vidi duos Sanctum Macarium comitantes, a dexteris alterum, alterum a sinistris. Accidit autem, ut in cadaver incideremus jam fœtens. Cujus ubi fœtorem S. Macarius persensit, nares derepente digitis oppressit, donec transisset. Idem & ab angelis factum, animadversumque Macario. Ergo igitur rogavit eos, num & ipsi fœtore mundano tangerentur. Negarunt illi, dixeruntque, ad ipsius sese illud exemplum fecisse. Nos enim tetrum illum mundanum odorem nequaquam percipimus, illius tantum participes, quem peccatorum animæ exhalant. Hic enim ita nos afficit, quemadmodum ille e cadaveribus in putrorem euntibus vos male habet. Ad hæc, quæso, inquit noster senex, indicare ne gravemini, utrum hunc peccatricium animarum fœtorem in hac vita sentiatis, an post hanc vitam: quidque inter impiarum, & fidelium animarum odorem sit discriminis, quo utrasque inter se dignoscatis, atque ita pias ab infidelibus distinguatis? Obsecro, vos si gratiam apud vos inveni, molestum ne sit hoc exponere. Et angeli quidem lubenter, Accipe, responderunt, Electe Dei Macari, quid hujusce rei sit. Anima peccatrix, etiam quum corpori adhuc suo alligata est, malorum operum

6. ὄζον] v. ὄζον πάνυ.
7. ὁ ἅγιος] v. ὁ Ἀββᾶς.
8. συνέκλεισε usque ad ἐποίησαν] v. ἐσκέπασε τὴν ῥῖνα αὐτοῦ διὰ τῆς ὀσμῆς.
9. Καὶ ἰδὼν ὁ γέρων] v. ἰδὼν δὲ ὁ γέρων.
10. εἶπεν αὐτοῖς] v. αὐτοὺς λέγει. l. αὐτὸ, λέγει.
11. οἱ δὲ εἶπον] v. ὁ δὲ εἶπεν αὐτῷ.
12. ἰδόντες] v. ἴδομεν καὶ ὅτι.
13. ἐξομωνίας] v. δυσωδίας.
15. μόνον] abest a Viennensi.
16. ἀπεστρέφη] v. hic recte avitior, addit: οὕτως καὶ ἡμεῖς τῶν ἁμαρτωλῶν τὰς ψυχὰς (lege τῶν ψυχῶν) τὴν δυσωδίαν.
17. ὁ γέρων] v. ὁ γέρων θαυμάσας.
18. γνωρίσατέ μοι,] v. παρακαλῶ ὑμᾶς. γνωρίσατέ μοι &c.
19. ψυχῆς] v. τῶν ψυχῶν.
20. ἡ ἁμαρτωλὸς] v. ἡ μὲν ἁμαρτ.

κῶν πράξεων ὀζωδίαν ἀποδίδωσι. μὲν δὲ [21] θάνατον πολὺ [22] πλέον. Τῶν γὰρ πράξεων φανερῶς ἐπικειμένων αὐτῇ [23] σκοτοῦσι καὶ μελανίαν δίκην αὐτὴν περισκέπουσι. ἡ γὰρ ψυχὴ καθ' ἑαυτὴν φωτεινὴ καὶ καθαρά ἐστιν, ὡς τοῦ ἀθανάτου φωτὸς ἐμφύσημα, ἀλλὰ ἐν τῷ σώματι [24] γινομένη καὶ μὴ καλῶς αὐτὸ κυβερνῶσα μολύνεται ἐκ τοῦ κατὰ μέρος ἐκ τῆς ἁμαρτίας, ἡ μὲν πλέον, ἡ δὲ ἔλαττον. τὸ δὲ πῶς αἱ ψυχαὶ ἐκ τῶν σωμάτων [25] λαμβάνονται πιστῶν τε καὶ ἀπίστων, ἄκουσον, [26] καὶ πάντων ὡς ἐπίγεια [27] ἢ κοινὰ ἐλαχίστων τῶν ἐπουρανίων νόμιζε εἶναι, Μακάριε. ὥσπερ γὰρ ἐκ τοῦ ἐπιγείου βασιλέως ἀποστελλόμενοι στρατιῶται ἐπὶ τῷ παραστῆσαί τινα ἐλθόντες συνέχουσιν αὐτὸν καὶ μὴ θέλοντα, ὁ δὲ καταπτήσσει μὲν τῷ φόβῳ, τρέμει δὲ καὶ τὴν παρουσίαν τῶν ἀσυμπαθῶς πρὸς τὴν ὁδοιπορίαν ἑλκόντων, οὕτως καὶ ὅταν ἀποσταλῶσιν ἄγγελοι παραλαβεῖν τὴν ψυχὴν, εἴτε δικαίου, εἴτε ἁμαρτωλοῦ, καταπλήσσει τῷ φόβῳ, καὶ τρέμει τὴν παρουσίαν τῶν φοβερῶν καὶ ἀποτόμων ἀγγέλων. Καθορᾷ γὰρ τότε ἡ ψυχὴ ἄπορον, καὶ ἀσθενῆ, καὶ ἀνωφελῆ πάντοθεν τὴν τοῦ πλούτου, καὶ συγγενῶν, καὶ φίλων παρουσίαν, τὰ δάκρυα, καὶ τοὺς θρήνους τῶν παρεστώτων αἰσθάνεται. καὶ λαλῆσαι, καὶ ἀφιέναι φωνὴν οὐ δύναται, μηδέποτε πειρασθεῖσα τοιαύτῃ κλείσει. δέδοικε δὲ καὶ τὸ ἄπειρον τῆς ὁδοῦ, καὶ τὴν ἐναλλαγὴν τῆς διαγωγῆς. συνέχεται δὲ καὶ τῇ τῶν ὁρωμένων ἀρχόντων ἀσυμπαθείᾳ. προσπάσχει δὲ καὶ πρὸς πάντα, καὶ τῇ τοῦ σώματος συμβιώσει. καὶ θρηνεῖ τὴν τούτου ἀπόζευξιν, ὡς τοῦ ἐν συνηθείᾳ χωριζομένη. μίαν καὶ μόνην παραμυθίαν μὴ δυναμένη ἔχειν ἐκ τοῦ οἰκείου συνειδότος. εἰ μὴ ἐὰν καλῶν ἔργων πρᾶξιν ἑαυτῇ σύνοιδεν. ἡ τοιαύτη ψυχὴ καὶ περὶ τῆς ἀποφάσεως τοῦ κριτοῦ, ἀπὸ τοῦ συνειδότος ἀδιαλείπτως κρίνεται. καὶ ὁ Ἀββᾶς Μακάριος λέγει πάλιν. Τί οὖν, κύριοί μου, δέομαι ὑμῶν, καὶ τοῦτο ἑρμηνεύσατε. ἐπειδὴ ἐκ τῶν πατέρων παραδίδοται ἐν τῇ τρίτῃ ἡμέρᾳ, καὶ τῇ θ', καὶ τῇ μ' προσφέρεσθαι τῷ Θεῷ ἐν τῇ ἐκκλησίᾳ προσφορὰν ὑπὲρ τοῦ τελευτήσαντος, τί τὸ ὄφελος ἐκ τούτου τῇ ἐν μεταστάσει ψυχῇ γίνεται; καὶ ὁ ἄγγελος ἔφη, Οὐδὲν ἀκαίρως, οὐδὲ ἀνωφελῶς, ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ συνεχώρησεν ὁ Θεὸς γίνεσθαι. ἀλλὰ

21. θάνατον] v. τοῦ θανάτου. L. τὸν θάνατον.
22. πλέον] v. πλείονος.
23. σκοτοῦσι καὶ μελανίαν δίκην αὐτῇ] v. σκότος μελανίας δίκην αὐτῇ, καὶ πλεῖστα. l. σκότος μελανίας δίκην αὐτῇ &c.
24 γινομένη] v. γινομένη.
25. λαμβάνονται] v. τῶν ἀνθρώπων χωρίζονται. lege, παραλαμβάνονται, ut mox infra.

rum fœdum odorem ſpargit: poſt mortem vero multo etiam fœdiorem. Opera namque mala incubant illi, tenebriſque illam velut atra veſte circumdant. Etenim anima natura ſua lucida eſt & pura, quippe quæ e divino afflatu ſuam traxerit originem. Verum quamdiu in corpore hæret, & ab eo male habetur potius, ac regitur, quam id habet, & regit, a peccato ex parte contaminatur; hæc illa plus minus. Quomodo vero animæ e corporibus diſcedant, abducanturque, tam fidelium quam infidelium, audiſis Macari, & de mundanis, quomodo cœleſtia tractentur, exemplum tibi capiundum exiſtima. Quemadmodum enim, qui a terreſtri rege mittuntur milites, uti quem ſiſtant, illum etiam invitum ac reluctantem comprehendunt, ac tenent; ille vero timore perculſus tremit, eorumque horretque præſentiam, a quibus abſque ulla miſericordia ad iter faciundum trahitur: ſic &, quum angeli mittuntur, ut animam aliquam excipiant, ſive illa probi hominis ſit, ſive improbi, pavet illa, & extimeſcit terribilium & ſeverorum angelorum conſortium. Tum enim demum, quam inutilis ſibi & infirma ſit, nulliuſque opis, divitiarum, cognatorumque & amicorum copia, animadvertit: & horum quidem circumſtantium undique lacrymas & lamenta audit, intelligitque: verum verbum proloqui nullum poteſt, nec vocem mittere: quippe quæ numquam iſtiuſmodi evocationem fuerit experta. Sed & ad immenſam vitæ prolixitatem exhorreſcit, ac commutatum vitæ genus: tum & eorum, quorum jam in poteſtate eſt, intuitu perterretur, quos nulla ſui tangi videt miſericordia. Adhæc & corporis eam afficit convictus, ab eoque ſe tamquam a familiari quodam contubernali divulſam, diſjunctamque dolet, atque lamentatur. Neque vero vel unicum illud ipſi adeſt, aut ſuccurrit ſolatium, quod a conſcientia ſuppeditari ſolet, niſi ſi forte animus bonorum ſibi operum conſcius fuerit. Iſtiuſmodi enim anima, etiam ante ſupremi judicis ſententiam, a conſcientia perpetim judicatur. Hic Abbas Macarius, Domini mei, inquit, rogo vos, ut & illud mihi exponere dignemini. Quandoquidem ita ſe res habet, quid commodi ad animam ex eo ritu redeat, qui a patribus noſtris inſtitutus eſt, uti tertia, & nona, atque item quadrageſima die oblatio Deo fiat in eccleſia pro defuncto? dicam, inquit angelus; Nihil omnino Deus in eccleſia ſua

26. καὶ παντων] v. αἰς.
27. ἢ κατὰ ἐλαχίςων] locus corruptus in utroque codice. legam, εἰκότα ἐλαχίςων, vel ἐλάχιςον adverbialiter.

ἀλλὰ τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια αὐτοῦ μυστήρια ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ συνεχώρησεν ὁ Θεὸς γίνεσθαι, καὶ ἐκέλευσε τελεῖσθαι. ἐν γὰρ τῇ τρίτῃ ἡμέρᾳ γινομένης προσφορᾶς ἐν τῇ ἐκκλησίᾳ παραμυθίαν τῆς θλίψεως, ὡς ἀπεχωρίσθη τοῦ σώματος, δέχεται ἡ ψυχὴ μὲν θανοῦσα παρὰ τοῦ συνέχοντος αὐτὴν ἀγγέλου. ὅτι εὐλόγησις καὶ προσφορὰ ὑπὲρ αὐτῆς ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ προσκεκόμισται. καὶ εὐέλπις γίνεται ἐν τούτῳ. τὰς γὰρ δύο ἡμέρας συγχωρεῖται ἡ ψυχὴ ἅμα τοῖς σὺν οὖσιν αὐτῇ ἀγγέλοις πορεύεσθαι, ἔνθα βούλεται, ἐπὶ τῆς γῆς. ἡ οὖν φιλοσώματος ψυχὴ ἀπέρχεται, ποτὲ μὲν περὶ τὸν οἶκον, ἔνθα ἀπεζεύχθη, ποτὲ δὲ περὶ τὸ μνῆμα, ὅπου κατετέθη τὸ σῶμα. καὶ οὕτως ἐκτελεῖ τὰς δύο ἡμέρας, ζητοῦσα ὥσπερ ὀρνέον τὴν νοσσιὰν αὐτῆς. ἡ δὲ ἐνάρετος ψυχὴ ἀπέρχεται εἰς τόπους, ὅπου εἶχε συνήθειαν ἐργάζεσθαι τὴν δικαιοσύνην. τῇ δὲ τρίτῃ ἡμέρᾳ ἀνιέναι κελεύει πάσῃ ψυχῇ χριστιανῶν εἰς οὐρανοὺς ὁ ἐκ νεκρῶν ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ ὁ πάντων Θεὸς, κατὰ μίμησιν τῆς αὐτοῦ ἀναστάσεως, εἰς προσκύνησιν τοῦ Θεοῦ τῶν ἁπάντων. καλῶς οὖν κατέχει ἡ ἐκκλησία τῇ τρίτῃ ἡμέρᾳ προσφορὰν καὶ εὐχὴν ποιεῖσθαι ὑπὲρ τῆς ψυχῆς. μετὰ οὖν τὸ προσκυνῆσαι τὸν Θεὸν, γίνεται κέλευσις παρ' αὐτοῦ, ὥστε ἐπιδειχθῆναι αὐτῇ τὰς διαφορὰς καὶ τερπνὰς σκηνὰς τῶν ἁγίων, καὶ τὴν τοῦ παραδείσου ὡραιότητα. καὶ ταῦτα πάντα καταμανθάνει ἡ ψυχὴ ἐν ἓξ ἡμέραις, θαυμάζουσα καὶ δοξάζουσα τὸν εὐπρεπιστὴν τούτων Θεόν. καὶ ταῦτα πάντα θεωροῦσα ἡ ψυχὴ μεταβάλλεται, καὶ ἐπιλανθάνεται τῆς θλίψεως, ἥνπερ εἶχεν ἐν τῷ σώματι οὖσα. ἐὰν δέ ἐστι ἐν ἁμαρτίαις ὑπεύθυνος, θεωροῦσα τὰς ἀπολαύσεις τῶν ἁγίων, ἄρχεται λυπεῖσθαι, καὶ καταγινώσκειν ἑαυτὴν, λέγουσα, Οἴμοι πῶς ἐματαιώθην ἐν τῷ κόσμῳ ἐκείνῳ, ἐν ταῖς ἐπιθυμίαις τοῦ βίου ἀσχοληθεῖσα. τὸ πλεῖστον τοῦ βίου μου ἐδαπάνησα ἐν ἀμελείᾳ, καὶ οὐκ ἐδούλευσα τῷ Θεῷ κατὰ τὸ πρέπον, ὅπως κἀγὼ ἠξιώθην τῆς χάριτος, καὶ τῆς δόξης ταύτης. οἴμοι τῇ ἀθλίᾳ. ἔτι μοι νῦν συμβάλλονται αἱ φροντίδες, καὶ ὁ ἄκαιρος περισπασμὸς, ὃν εἶχον ἐν τῷ κόσμῳ. ποῦ δέ μοι χρησιμεύουσιν οἱ ἀμπελῶνες, οὓς ἐφύτευσα, καὶ οἱ ἐλαιῶνες; ποίαν δέ μοι ὠφέλειαν παρέξεται ὃν ἐκτησάμην ἀγρόν; τί δέ μοι ὀφελεῖ [28] τὸ ἐσθίειν ἐκεῖ χρυσίον; ποῖον δέ μοι ὄφελος παρέχει ὁ πλοῦτος ὁ ἐκεῖσε; τί δέ μοι ὤνησε πᾶν τερπνὸν τοῦ βίου, καὶ τοῦ κόσμου ἐκείνου; οἴμοι, εἰς μάτην ἐκοπίασα. οἴμοι, ὅτι ἀφρόνως ἐβίωσα. οἴμοι, τὴν ἐν ὀλίγῳ καιρῷ δόξαν ἠγάπησα, τὴν δὲ αἰώνιον πλουσίαν ἐκτησάμην. οἴμοι, τί πέπονθα; οὐαί μοι, πῶς ἐσκοτίσθην οὐκ οἶδα. οὐαί μοι, οὐδεὶς δυνήσεται νῦν βοηθῆσαί

28. τὸ ἐσθίειν ἐκεῖ] v. τὸ ἐσθίειν ἐκεῖθεν.

ſua aut fruſtra fieri permiſit, aut inutiliter: verum cœleſtia ſua & terrena myſteria in eccleſia ſua adhiberi conceſſit; juſſitque peragi. Quum enim tertia die oblatio in eccleſia fit, levamen aliquod doloris, quem e corporis ſejunctione ſentit, anima defuncti ab angelo, cujus in poteſtate eſt, accipit; quandoquidem pro ea in eccleſia benedictio & oblatio Deo offeruntur. Ac tum ſpe etiam meliore impletur. Biduum enim illud animæ permittitur, ut una cum angelis, qui ei præſto ſunt, quocunque animus tulerit, in terras deſcendat. Quæcunque igitur corporis ſui amore ducitur, vel domum illam abit, ubi a corpore ſejuncta fuit, vel circa ſepulcrum verſatur, in quo corpus ſuum conditum jacet. Atque ita quidem biduum illud inſumit, haud ſecus ac avicula ſolet nidum requirens. At pia anima, ac virtutis amans, ad illa loca proficiſcitur, in quibus pietatem exercere ſolita fuit. Ceterum tertia die ille, qui a mortuis tertia die reſurrexit, Chriſtus, ille omnium Deus, omnes Chriſtianorum animas attolli in cœlos jubet, ad imitationem reſurrectionis ſuæ, ut omnium adorent Deum. Recte igitur mos ille ab Eccleſia obſervatur, ut tertia die pro anima defuncti oblatio, preceſque fiant. Ergo ubi Deum venerata eſt, jubet ille, ut animæ illi variæ jucundæque Sanctorum ſedes, totaque Paradiſi voluptas atque elegantia oſtendatur, & hæc ea omnia diebus ſex cognoſcit, admirans, laudibuſque concelebrans ordinatorem horum Deum. Quæ ubi contuetur, ac perluſtrat, immutatur, obliviſciturque ærumnarum omnium, & laborum, quos in corpore commorans fuerat perpeſſa. At ſi peccatorum rea fuerit ac affinis, voluptates conſpicata ſanctorum, contriſtari incipit, ſeque ipſa damnare, Hei mihi, inquiens, quam ego in terris deſipui, quæ vitæ voluptatibus tempora mea tribuens maximam vitæ partem incuriæ me tradidi, nec, ut factum oportuit, Deo ſervivi, ut & ipſa hujuſce gratiæ ac gloriæ eſſem particeps! Me miſeram! etiamnum me curæ & inconſulta ſollicitudo, queis in illo mundo tenebar, circumſtare, ac circumſultare non ceſſant! Quid nunc me juvant aut vineta, quæ plantavi, aut oliveta, quæ colui? quid nunc ad me commodi ex agro redit, quem coëmi? quæ ex auro utilitas, quod amavi? quid divitiæ proſunt, quas illic poſſedi? quid omnis vitæ voluptas, qua iſthic fruitus ſum? Hei mihi! quæ incaſſum me fatigavi! hei mihi, quæ inſipienter vitam perdidi! hei mihi, quæ exigui temporis, quam deperibam, gloria perennem ac æternam mihi infamiam comparavi!

θῆσαί μοι, ὅπως κἀγὼ ἄθλιος τύχω τῆς δόξης κυρίου. μετὰ δὲ τὸ θεωρῆσαι πᾶσαν τὴν χαρὰν τῶν δικαίων ἐν ταῖς ἓξ ἡμέραις πάλιν ἀναφέρεται ὑπὸ τῶν ἀγγέλων εἰς προσκύνησιν τοῦ Θεοῦ. Καλῶς οὖν προσφέρει ἐν τῇ θ' ἡμέρᾳ λειτουργίας καὶ προσφορὰν ἐκκλησία ὑπὲρ τοῦ τελευτήσαντος. μετὰ δὲ τὴν δευτέραν προσκύνησιν πάλιν γίνεται κέλευσις παρὰ τοῦ πάντων δεσπότου καταγαγεῖν αὐτὴν ἐν τῷ ἅδῃ, καὶ δεῖξαι αὐτῇ τὰ ἐκεῖσε κολαστήρια, καὶ διάφορα ταμεῖα τοῦ ἅδου, καὶ τὰς τῶν ἀσεβῶν διαφόρους κολάσεις, ἃς παρακαθεζόμεναι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν διηνεκῶς θρηνοῦσι, καὶ βρύχουσι [29] τοὺς ὀδόντας. καὶ ἐν ταῖς τοιαύταις διαφοραῖς τῶν κολάσεων περιφέρεται ἡ ψυχὴ ἡμέρας λ' τρέμουσα, μήπως ἄρα καὶ αὐτὴ ἐν τῷ τοιούτῳ τόπῳ κατακλεισθῇ φυλάττεσθαι. καὶ τῇ μ' ἡμέρᾳ ἀναφέρεται πάλιν προσκυνῆσαι [30] τῷ κυρίῳ. καὶ τότε λοιπὸν πρὸς τὰ ἔργα [31] αὐτῆς κελεύει ὁ κριτὴς [32] τὸν τόπον τῆς παραφυλακῆς. [33] καλῶς ἐκτελεῖται οὖν ἐν τῇ ἐκκλησίᾳ ταῖς μνείαις τῶν μαθητευμένων, καὶ πεφωτισμένων. ἐπὶ δὲ τῶν ψυχῶν τῶν μὴ ἐχουσῶν βάπτισμα τὸ ἅγιον οὐχ οὕτως. ἀλλὰ [34] ἀπηνῶς ἄγγελοι ἀπότομοι λαμβάνουσι τὰς ἀφωτίστους ψυχὰς ἀπὸ τοῦ σώματος, τύπτοντες, καὶ λέγοντες, Δεῦρο [35] ἀσεβὴς ψυχή, [36] τίς ὁ δεσπότης σου καὶ πάντων [37] Χριστός. ὃν οὐκ ἐθέλησας γνῶναι, ἐν ἀνέσει διάγουσα ἐν τῷ κόσμῳ. Νῦν γνῶθι τιμωρουμένη αἰωνίως. καὶ μέχρι τοῦ πρώτου οὐρανοῦ ἀνάγοντες ἱστᾶσι καὶ δεικνύουσιν [38] αὐτῇ ἐκ μήκους τὴν δόξαν τῶν ἀγγέλων, καὶ πάντων τῶν οὐρανίων δυνάμεων, λέγοντες, Τούτων ἁπάντων κύριός ἐστιν Ἰησοῦς Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὃν οὐκ ἠθέλησας γνῶναι καὶ προσκυνῆσαι, ἀλλὰ [39] ἀπαχθεῖσα πρὸς τοὺς [40] ὁμοιουσίους ἀσεβεῖς, καὶ τὸν τούτων ἄρχοντα τὸν διάβολον, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, οὓς ἐν τῷ βίῳ σου ὡς θεοὺς προσεκύνησας. [41] Ταῦτα εἰπόντες οἱ ἄγγελοι ἀφανεῖς ἐγένοντο ἀφ' ἡμῶν. [42] ἡμεῖς δὲ δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

29. τοὺς ὀδόντας] v. addit: ὑπὸ τοῦ ἰδίου συνειδότος κατακρινόμεναι. Quod ab interprete, seu mala manu.

30. τῷ κυρίῳ] v. τῷ Θεῷ.

31. αὐτῆς κελεύει] v. τῆς ψυχῆς ἐκφέρει.

32. τὸν τόπον] v. τὴν ἀπόφασιν.

33. Καλῶς ἐκτελεῖται, usque ad ἐπὶ δὲ τῶν] pro his C. Viennensis habet: καὶ ἀποκλείεται τεσσαρακοστῇ ἡμέρᾳ. καλῶς οὖν ἡ ἐκκλησία ἐκτελεῖ καὶ τὴν τεσσαρακοστὴν ἡμέραν τοῦ τεθνεῶτος. μετὰ ταῦτα μέντοι ἐπὶ τῶν ψυχῶν τὸ βάπτισμα ἐχουσῶν ἐκτελεῖται. ἐπὶ δὲ τῶν, &c.

34. ἀπηνῶς] pro ἀπηνῶς v. μετὰ σφοδρᾶς ἀπειλῆς quod a scholiaste.

35. ἀσεβὴς] v. ἀσελγής.

36. τίς ὁ δεσπ.] v. γνῶθι, τίς ἐστιν ὁ δεσπ.

37. Χριστὸς] v. κύριος.

38. αὐτὴν ἐκ μήκοθεν.] ita noster codex. v. autem αὐτὴν μακρόθεν, restitui αὐτῇ ἐκ μήκους.

93. ἀπα-

ΤΕ'ΛΟΣ.

hei mihi, quæ mala mens me peſſum dedit! Væ mihi! quomodo ita excæcata fuerim, non capio. Væ mihi! nunc mihi auxilium ferre nemo poteſt, nec efficere quiſquam, ut & ego infelix gloriæ Domini fiam particeps. Poſtquam vero diebus illis omne piorum gaudium contemplata eſt, ſurſum rurſus ab angelis ad adorandum Deum evehitur. Recte igitur nona die Eccleſia pro vita functis preces & oblationes inſtituit. Poſt alteram vero adorationem, ille omnium arbiter Deus duci illam ad inferos jubet, ibique ipſi pœnas oſtendi, variaque impiorum ſupplicia, quæ deſidentes illic animæ jugiter lamentando deplorant, dentibuſque infrendunt. In his autem ſuppliciorum diverſis generibus perluſtrandis triginta dies anima occupatur, tremens ac metuens, ne & ipſa ad tam diram & horribilem cuſtodiam damnetur. Quadrageſima vero die iterum ſurſum tollitur, quo Dominum adoret. Exin, prout ejus merita, locus illi cuſtodiæ a judice aſſignatur. Præclare igitur in eccleſia commemoratio uſurpatur defunctorum & baptizatorum. Sed non par ratio eorum, quibus ſanctum baptiſma non contigit. Has enim non illuminatas animas, ubi e corpore diſceſſere, immites angeli duriter accipiunt, cædentes, ingerenteſque, Huc huc, anima impia, vide, quis tuus & omnium Dominus Chriſtus ſit, & quem cognoſcere in hac vita remiſſe ac negligenter agens noluiſti. Hunc tandem cognoſce perpetuis damnata ſuppliciis. Et ad primum uſque cœlum eam ſublevantes ſtatuunt ibidem, ut e longinquo angelorum, & omnium cœleſtium poteſtatum gloriam intueatur, dicentes: Horum omnium Dominus eſt Jeſus Chriſtus, filius Dei vivi, quem noſſe noluiſti, nec adorare. Vade igitur ad tui ſimiles impios, & ad eorum principem diabolum in ignem æternum, qui diabolo & angelis ejus præparatus eſt: quos, dum in vivis eras, tamquam Deos adoraſti. Hæc ubi dicta, evanuerunt angeli ex oculis noſtris. Nos autem laudes dicamus Patri, & Filio, & Spiritui Sancto, nunc, & ſemper, & in ſecula ſeculorum. Amen.

39. ἀπαχθεῖσα] v. συναχθεῖσα. adde & ἴδε.

40. ὁμοιωσίες] malim, ὁμοίως σοι τοὺς ἀσεβεῖς.

41. ταῦτα εἰπόντες] Viennenſis Codex præmittit: καὶ λοιπὸν κατάγουσιν αὐτὴν εἰς τὰ κατώτερα τοῦ ᾅδου, ὅπου καὶ αἱ λοιπαὶ ψυχαὶ τῶν ἀπίστων.

42. Ἡμεῖς δὲ, uſque ad finem,] v. Ἡμεῖς ἐπισπεύσωμεν τὴν ὁδὸν ἡμῶν, δοξάζοντες τὸν Θεὸν ἡμῶν, ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ, καὶ προσκύνησις.

F I N I S.

Ad Gregor. Nazianz. e Lambecio l. III, p. 177, Bibl. Cæsar.

Titulus hic Ἐπισκόπου Ναζιανζοῦ *exstat etiam alias in eodem codice, itidem ut hic, aureis literis studiose exaratus. Quamvis autem hic error adeo sit antiquus, ut non solum Ruffinus Hist. Eccles. l. 2, c. 9, Socrates lib. 3. c. 35, Sozomenus lib. 6, c. 17, & Suidas in Lexico sub voce* Γρηγόριος, *verum etiam ipse S. Hieronymus in libro de Scriptoribus Ecclesiasticis cap. 17, S. Gregorium Nazianzenum appellet Episcopum Urbis Nazianzi in Cappadocia, ipse tamen S. Gregorius in scriptis suis expresse reclamat, & publice testatur, se numquam fuisse ordinatum Episcopum Nazianzi, sed tantummodo patrem suum, tamquam Episcopum jam decrepitum, in administranda istius urbis Ecclesia ad breve tempus adjuvisse. Qua de re videsis plura apud Card. Baronium Annal. Ecclesiast. tom. IV, an. 371, & 372, 304, 305, & 331 edit. Plantin.*

Operum Nazianzeni noviss. editioni Coloniensi, quatuor extremi versus desunt; quos hic addere visum.

Εἰκὼν κενοῦται, τίς βοηθήσει λόγος;
Εἰκὼν κενοῦται, δῶρον ἀχράντου Θεοῦ.
Ὑβρίζετ' εἰκὼν, αἴσθομ' ὦ φθόνε, φθόνε.
Ἀλλοτρίοις λόγοις τε καὶ νοήμασι.
Πηγὴ κακῶν μὴ βλύζε, μὴ μάταια φρήν.
Εἰ δ' οὖν, σὺ γλῶσσα μὴ δέχου τὸν βόρβορον.
Εἰ δ' οὖν, σὺ χεὶρ μὴ δέχου τὰ χείρονα.
Οὕτως ἂν ἡμῖν εἰκὼν ἄφθαρτος μένοι.

Philæ Epigramma in margine oper. Greg. exaratum,

Τὸν ἀστικὸν θόρυβον οὐ στέργων Πάτερ (male στέγων in Lambecio)
Εἰς πόντον ἐκπλεῖς, ἀλλ' ἐπιστρέφεις πάλιν
Ἐκεῖθεν ἡμῖν ὄλβον οὐ φαῦλον φέρων.

Codicis Gr. Naz. margini adscriptum:

Νοῦς πυρόεις καὶ μῦθος ἡ βίβλος ἥδε
Τοὺς ἀνόμους φλεγέθει, τοὺς περὶ θεσμὸν ὕει.

Carmen Tetrastichis editis Gregorii Naz. præfigendum:

Γρηγορίου πόνος εἰμί. τετραστίχων δὲ φυλάσσω
Γνώμαις πνευματικαῖς, μνημόσυνον σοφίης.

INDEX
RERUM ET VERBORUM.

A.

F.

G.

— unde

S.

T.

F I N I S.



